# XXVI

## *ΠΕΡΙ ΤΗΣ ΕΥΑΝΔΡΟΥ ΔΟΚΙΜΑΣΙΑΣ*

1 ⟨Οὐδ'⟩ ἡγούμενος ἀκριβῆ νῦν τὴν δοκιμασίαν αὐτοὺς διὰ τὸν
χρόνον ποιήσεσθαι, ἐπεὶ σύνοισθα πολλὰ καὶ δεινὰ εἰς αὐτοὺς
ἐξημαρτηκώς, ὧν ἐπιλελῆσθαι καὶ οὐδ' ἀναμνησθήσεσθαι
ἐνίους αὐτῶν νομίζεις. ὃ δὴ ἔγωγε καὶ ἀγανακτῶ, εἰ ταύτῃ τῇ
ἐλπίδι εἰς ὑμᾶς ἥκει πιστεύων, ὥσπερ ἄλλων μέν τινων ὄντων
τῶν ἠδικημένων, ἑτέρων δὲ τῶν ταῦτα διαψηφιουμένων, ἀλλ'
οὐκ ἀμφότερα τῶν αὐτῶν καὶ πεπονθότων καὶ ἀκουσομένων.
2 αἴτιοι δὲ τούτων ὑμεῖς ἐστε· οὐ γὰρ ἐνθυμεῖσθε ὅτι οὗτοι μέν,
ὅτε ἡ πόλις ὑπὸ {τῶν} Λακεδαιμονίων ἤρχετο, οὐδὲ τῆς αὐτῆς
δουλείας ὑμῖν μεταδοῦναι ἠξίωσαν, ἀλλὰ καὶ τῆς πόλεως
ἐξήλασαν, ὑμεῖς δ' ἐλευθέραν αὐτὴν ποιήσαντες οὐ μόνον τῆς
ἐλευθερίας αὐτοῖς ἀλλὰ καὶ τοῦ δικάζειν καὶ τοῦ ἐκκλησιάζειν
περὶ τῶν κοινῶν μετέδοτε, ὥστε εἰκότως ὑμῶν ταύτην τὴν
3 εὐήθειαν καταγιγνώσκουσιν. ὧν εἷς οὗτος ὢν οὐκ ἀγαπᾷ εἴ
τις αὐτὸν ἐᾷ τούτων μετέχειν, ἀλλὰ καὶ πρὶν ἐκείνων δοῦναι
δίκην πάλιν ἄρχειν ἀξιοῖ. καὶ νυνὶ αὐτὸν ἀκούω ὑπὲρ μὲν
τῶν αὐτοῦ κατηγορουμένων διὰ βραχέων ἀπολογήσεσθαι,

1 /// ἡγούμενος X, ἡγούμενος Af: οὐδ' ἡγούμενος in X agnoscunt Baiter–Sauppe et Schöll: ἀλλ'(quod praebet E) ἡγούμενος lucerna silicea legit Albini (ipse quidem etiam lucerna adhibita nil vidi): ⟨οὐχ⟩ ἡγούμενος Taylor: ⟨οὐκ ἂν⟩ ἡγούμενος P. R. Müller  διὰ χρόνου Reiske  2 ποιήσεσθαι Af, ποιήσασθαι X: οὐ ποιήσεσθαι Markland  4 ἐνίων αὐτούς P. R. Müller: ⟨αὐτούς⟩ καὶ οὐδ' deleto αὐτῶν Francken  ⟨μάλιστα⟩ ἀγανακτῶ Castiglioni  7 ἀμφοτέρων Af  9 τῶν del. Pertz  αὐτῆς τῆς δουλ. vel del. αὐτῆς Dobree  10 ὑμῖν Af': ἡμῖν X  κἀκ τῆς πόλεως Fuhr  13 ταύτην τὴν del. Francken: τὴν del. Rauchenstein  16 ἀκούω ὑπὲρ μὲν Rauchenstein: ἀκούομεν ὑπὲρ X: ἀκούω μὲν ὑπὲρ Scheibe: ἀκούω Francken  17 τῶν αὐτοῦ κατηγορουμένων Baiter: ὧν αὐτὸν κατηγοροῦμεν ὧν X: ὧν αὐτοῦ κατηγοροῦμεν οὐ Af (οὐ addito postea): αὐτῶν τῶν κατηγορουμένων Zakas 17 ἀπολογήσεσθαι Af: ἀπολογήσασθαι X

ἐπισύροντα τὰ πράγματα καὶ διακλέπτοντα τῇ ἀπολογίᾳ τὴν κατηγορίαν, λέξειν δὲ ὡς πολλὰ εἰς τὴν πόλιν ἀνηλώκασι καὶ φιλοτίμως λελῃτουργήκασι καὶ νίκας πολλὰς καὶ καλὰς ἐν δημοκρατίᾳ νενικήκασι, καὶ ὅτι αὐτὸς κόσμιός ἐστι καὶ οὐχ ὁρᾶται ποιῶν ἃ ἕτεροι ἐνταῦθα τολμῶσιν, ἀλλὰ τὰ ἑαυτοῦ
πράττειν ἀξιοῖ. ἐγὼ δὲ πρὸς τούτους τοὺς λόγους οὐ χαλεπὸν 4
οἶμαι ἀντειπεῖν· πρὸς μὲν τὰς λῃτουργίας, ὅτι κρείττων ἦν ὁ πατὴρ αὐτοῦ μὴ λῃτουργήσας ἢ τοσαῦτα τῶν ἑαυτοῦ ἀναλώσας· διὰ γὰρ ταῦτα πιστευθεὶς ὑπὸ τοῦ δήμου κατέλυσε τὴν δημοκρατίαν, ὥστ' εἶναι ταῦτα τὰ ἔργα ἀειμνηστότερα ἢ
τὰ ἐκ τῶν λῃτουργιῶν αὐτῷ ἀναθήματα· πρὸς δὲ τὴν 5
ἡσυχιότητα τὴν τούτου, ὅτι οὐ νῦν δεῖ αὐτὸν ἐξετάζειν εἰ σώφρων ἐστίν, ὅτ' αὐτὸν οὐκ ἔξεστιν ἀσελγαίνειν, ἀλλ' ἐκεῖνον τὸν χρόνον σκοπεῖν, ἐν ᾧ ἐξὸν ὁποτέρως ἐβούλετο ζῆν εἵλετο παρανόμως πολιτευθῆναι. τοῦ μὲν γὰρ νῦν μηδὲν ἐξαμαρτάνειν οἱ κωλύσαντες αἴτιοι, τῶν δὲ τότε γενομένων ὁ τούτου τρόπος καὶ οἱ τούτῳ ἐπιτρέπειν ἀξιοῦντες. ὥστ' ἐὰν ἐκ τούτων δοκιμάζεσθαι ἀξιοῖ, ταῦτα χρὴ ὑπολαμβάνειν, μὴ εὐήθεις αὐτῷ εἶναι δοκῆτε.

ἂν δὲ καὶ ἐπὶ τοιόνδε λόγον τράπωνται, ὡς ὁ χρόνος οὐκ 6
ἐγχωρεῖ ἄλλον ἀποκληρῶσαι, ἀλλὰ ἀνάγκη, ἐὰν αὐτὸν ἀποδοκιμάσητε, ἄθυτα τὰ πάτρια ἱερὰ γίγνεσθαι, τάδ' ἐνθυμήθητε, ὅτι πάλαι ὁ χρόνος ἤδη παρελήλυθεν. ἡ γὰρ αὔριον ἡμέρα μόνη λοιπὴ τοῦ ἐνιαυτοῦ ἐστιν, ἐν δὲ ταύτῃ τῷ Διὶ τῷ σωτῆρι θυσία γίγνεται, δικαστήριον δὲ παρὰ τοὺς
νόμους ἀδύνατον πληρωθῆναι. εἰ δὲ ταῦτα πάνθ' οὗτος 7

3 λελῃτ. Herwerden: λελειτ. X (similiter §4) 10 ὥστ' εἶναι] καὶ εἶναι Thalheim 11 αὐτῷ] αὐτοῦ Markland: αὐτῶν Reiske ἀναθήματα] ἀναλώματα Markland 12 αὐτὸν ante οὐκ ἔξεστιν del. Cobet οὐκ⟨έτι⟩ ἔξεστιν Herwerden 16 οἱ κωλύσοντες Dobree: οἱ κωλύοντες Zakas 18 ⟨ἵνα⟩ μὴ Reiske 19 δοκῆτε ex δοκεῖτε corr. X[1] 21 ἐὰν δὲ Cobet prius ὁ χρόνος del. P. R. Müller 22 τάδ'] τόδ' P. R. Müller 23 ἤδη del. Cobet 26 ἀδύνατον Contius: δυνατὸν X: οὐ δύνατὸν Af κληρωθῆναι Markland

ὥστε γενέσθαι διαπέπρακται, τί ⟨χρὴ⟩ προσδοκῆσαι
δοκιμασθέντ᾽ αὐτὸν ποιήσειν, εἰ τὴν ἐξιοῦσαν ἀρχὴν πέπεικεν
αὑτοῦ ἕνεκα παρανομῆσαι; ἆρ᾽ ἂν ὀλίγα τοιαῦτα ἐν τῷ ἐνιαυτῷ
8 διαπράξασθαι; ἐγὼ μὲν γὰρ οὐκ ἂν οἶμαι. ἔστι δ᾽ ὑμῖν ⟨οὐ⟩
τοῦτο μόνον σκεπτέον, ἀλλὰ καὶ πότερον εὐσεβέστερον τὸν
βασιλέα καὶ τοὺς συνάρχοντας τὰ ὑπὲρ τοῦ μέλλοντος ἄρξειν
ἱερὰ θῦσαι, ὡς καὶ πρότερον ἤδη γεγένηται, ἢ καὶ τοῦτον, ὃν
οὐδὲ καθαρὸν εἶναι τὰς χεῖρας οἱ εἰδότες μεμαρτυρήκασι, καὶ
πότερον ὑμεῖς ὠμόσατε εἰς τὴν ἀρχὴν ἀδοκίμαστον
καταστήσειν, ἢ δοκιμάσαντες τὸν ἄξιον τῆς ἀρχῆς
[176S] στεφανώσειν. ταῦτα γὰρ σκοπεῖσθε· κἀκεῖνο ἐνθυμεῖσθε, ὅτι
9 ὁ θεὶς τὸν περὶ τῶν δοκιμασιῶν νόμον οὐχ ἥκιστα {περὶ} τῶν ἐν
ὀλιγαρχίᾳ ἀρξάντων ἕνεκα ἔθηκεν, ἡγούμενος δεινὸν εἶναι, εἰ
δι᾽ οὓς ἡ δημοκρατία κατελύετο, οὗτοι ἐν τῇ αὐτῇ πολιτείᾳ
πάλιν ἄρξουσι, καὶ κύριοι γενήσονται τῶν νόμων καὶ τῆς
πόλεως, ἣν πρότερον παραλαβόντες οὕτως αἰσχρῶς καὶ δεινῶς
ἐλωβήσαντο. ὥστ᾽ οὐκ ἄξιον τῆς δοκιμασίας ὀλιγώρως ἔχειν,
οὐδὲ μικρὸν ἡγουμένους τὸ πρᾶγμα μὴ φροντίζειν αὐτῆς, ἀλλὰ
φυλάττειν· ὡς ἐν τῷ ἕκαστον δικαίως ἄρχειν ἥ τε πολιτεία καὶ
10 τὸ ἄλλο πλῆθος τὸ ὑμέτερον σῴζεται. ⟨καὶ⟩ εἰ μὲν
βουλεύσων νυνὶ ἐδοκιμάζετο καὶ ὡς ἱππευκότος αὐτοῦ ἐπὶ
τῶν τριάκοντα τοὔνομα ἐν ταῖς σανίσιν ἐνεγέγραπτο, καὶ ἄνευ
κατηγόρου ἂν αὐτὸν ἀπεδοκιμάζετε· νῦν δέ, ὅτε μὴ μόνον

1 ὥστε ⟨ἄρχων⟩ γενέσθαι P. R. Müller ⟨χρὴ⟩ add. Gebauer: προσδοκῆσαι ⟨δεῖ⟩ aldina: προσδοκᾶτε Af 2 δοκιμασθέντ᾽ Af: δοκισθέντ᾽ X ἐξιοῦσαν W: ἀξιοῦσαν X 3 ἕνεκα Scheibe: οὕνεκα X τῷ ⟨αὐτοῦ⟩ ἐνιαυτῷ Reiske 4 οὐ om. X, add. Af 5–6 τὸν ⟨νῦν⟩ βασιλέα Reiske 7 καὶ ante τοῦτον del. Auger 11 γὰρ] γοῦν Taylor: del. Cobet κἀκεῖνο ⟨δ᾽⟩ Cobet: ⟨ἔτι δὲ⟩ κἀκεῖνο Gebauer 12 περὶ del. Contius: καὶ Reiske 14 κατελύθη Cobet τῇ αὐτῇ Auger: αὐτῇ τῇ X: αὐτῇ ταύτῃ τῇ P. R. Müller: ταύτῃ τῇ Herwerden: τῇ πολιτείᾳ del. Bekker 16 παραλαβόντες Markland: προλαβόντες X 18 τὸ ante πρᾶγμα del. Dobree 20 ἄλλο del. Herwerden καὶ add. P. R. Müller: spatium trium litt. in X: ⟨καίτοι⟩ Rauchenstein: εἰ μὲν ⟨δὴ⟩ Af 21 ἐδοκιμάζετε X, corr. Af (⟨ἅτε βεβουλευκότος⟩ addens) 22 τοὔνομα Reiske (ὄνομα iam Schott): ἅρμα X: γράμμα Emperius 23 ὅτε] εἰ possis vel ὅτε οὐ μόνον . . . οὐδὲ . . . (vel ὅτι οὐ μόνον cum Rauchenstein) sed cf. Dem. 20.24: μὴ . . . ἀλλὰ del. Roehl, μὴ . . . καὶ iam P. R. Müller

*ἱππευκὼς μηδὲ βεβουλευκώς, ἀλλὰ καὶ εἰς τὸ πλῆθος ἐξημαρτηκὼς φαίνεται, οὐκ ἂν ἄτοπον ποιήσαιτε, εἰ μὴ τὴν αὐτὴν γνώμην ἔχοντες περὶ αὐτοῦ φανεῖσθε; καὶ μὲν δὴ* 11
*βουλεύειν γε δοκιμασθεὶς πεντακοσιοστὸς ὢν μετὰ τῶν ἄλλων ἐνιαυτὸν ἂν μόνον ἐβούλευσεν, ὥστε καὶ εἴ τι ἐν τούτῳ τῷ χρόνῳ ἐξαμαρτάνειν ἐβούλετο, ῥᾳδίως ἂν ὑπὸ τῶν ἄλλων ἐκωλύετο. ταύτης δὲ τῆς ἀρχῆς ἀξιούμενος αὐτὸς καθ' αὑτὸν ἄρξει, καὶ μετὰ τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς τὸν ἅπαντα χρόνον τῶν μεγίστων κύριος {τε} γενήσεται· ὥστε ὑμῖν καθήκειν περὶ* 12
*ταύτης τῆς ἀρχῆς ἀκριβεστέραν τὴν δοκιμασίαν ἢ περὶ τῶν ἄλλων ἀρχῶν ποιεῖσθαι. εἰ δὲ μή, πῶς οἴεσθε τὸ ἄλλο πλῆθος τῶν πολιτῶν διακείσεσθαι, ὅταν αἴσθωνται, ⟨ὃν⟩ προσῆκε δίκας τῶν ἡμαρτημένων διδόναι, τοῦτον ὑφ' ὑμῶν τοιαύτης ἀρχῆς ἠξιωμένον; καὶ φόνου δίκας δικάζοντα, ὃν ἔδει αὐτὸν ὑπὸ τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς κρίνεσθαι; καὶ πρὸς τούτοις ἴδωσιν ἐστεφανωμένον, καὶ ἐπικλήρων καὶ ὀρφανῶν κύριον γεγενημένον, ὧν ἐνίοις αὐτὸς {ὢν} οὗτος τῆς ὀρφανίας αἴτιος γεγένηται; ἆρ' οὐκ οἴεσθε αὐτοὺς χαλεπῶς διακείσεσθαι καὶ* 13
*ὑμᾶς αὐτῶν αἰτίους ἡγήσεσθαι, ὅταν γένωνται ἐν ἐκείνοις τοῖς χρόνοις, ἐν οἷς αὐτῶν πολλοὶ εἰς τὸ δεσμωτήριον ἀπήγοντο καὶ ἄκριτοι ὑπὸ τούτων ἀπώλλυντο καὶ φεύγειν τὴν σφετέραν*

3 *φανεῖσθε* Taylor: *φανοῖσθε* X: *φαίνοισθε* Cobet 4 *πεντακοσιοστὸς* ⟨*αὐτὸς*⟩ P. R. Müller 5 *ἐβούλευεν* Cobet 7 *ταύτην δὲ τὴν ἀρχὴν* Markland *ἀξιούμενος* Thalheim: *ἀξιοῖ μόνος* X: *ἠξιωμένος* Weidner: *μόνος* del. Pluygers (accepto *ταύτην δὲ τὴν ἀρχὴν*): ⟨*ἀξιούμενος*⟩ *ἀξιοῖ μόνος* Drysander (melius *ἀξιούμενος* ⟨*ἀξιώσει*⟩) 8 *ἄρξει* Weidner: *ἄρχειν* X *μετα*⟨*σχὼν ἔπειτα*⟩ *τῆς* Kayser 9 *τε* om. Af *γενήσεται* Thalheim: *γενέσθαι* X *καθήκει* Contius (item Francken): *προσήκειν* Franz 11 *ἀρχῶν* del. Herwerden: *ἁπασῶν* malit Thalheim *πῶς* Af: *ὡς* X 12 *τῶν πολιτῶν* del. Herwerden *ὃν* post *αἴσθωνται* om. X, add. Af 16 *ἴδωσιν* suspectum habent Gernet–Bizos 17 *ὧν* om. Af: *ὢν τοιοῦτος* aldina 18 *γεγένηται*] *ἀποδέδεικται* Thalheim (retento *ὢν*) *ἆρ' οὐκ* aldina: *ἆρ' οὖν* X: *ἆρ' οὐκ ἂν* P. R. Müller (retentis quae sequ. *διακεῖσθαι . . . ἡγήσασθαι*) *διακείσεσθαι* Af: *διακεῖσθαι* X 19 *αὐτῶν αἰτίους*] *πάντων αἰτίους* Markland *ἡγήσεσθαι* Af, *ἡγήσασθαι* X *ὅταν γένωνται*] *ὅταν γέν.* ⟨*τῇ διανοίᾳ*⟩ Cobet: *ὅσα ἐγένοντο* Markland: *ὅσα γεγένηται* Kayser: *ὅταν* ⟨*ταὐτὰ*⟩ *γένωνται* (vel *γένηται*) *ἐκ. τοῖς χρ.* Scheibe: sunt alia

αὐτῶν ἠναγκάζοντο; κἀκεῖνο προσενθυμηθῶσιν, ὅτι ὁ αὐτὸς οὗτος ἀνὴρ {Θρασύβουλος} αἴτιος γεγένηται Λεωδάμαντά τε ἀποδοκιμασθῆναι καὶ τοῦτον δοκιμασθῆναι, τοῦ μὲν κατήγορος γενόμενος, ὑπὲρ τούτου δὲ ἀπολογήσασθαι παρασκευασάμενος, ⟨εὖ εἰδὼς⟩ ὅπως πρὸς τὴν πόλιν διάκειται

14 καὶ πόσων αἴτιος αὐτῇ κακῶν γεγένηται; ἢ πειθόμενοι πῶς ἂν οἴεσθε διαβληθῆναι; τότε μὲν γὰρ ὑμᾶς ᾤοντο ὀργισθέντας Λεωδάμαντα ἀποδοκιμάσαι· ἐὰν δὲ τοῦτον δοκιμάσητε, εὖ εἴσονται ὅτι οὐ δικαίᾳ γνώμῃ περὶ αὐτοῦ κέχρησθε. ἔστι δὲ τούτοις μὲν πρὸς ὑμᾶς ἀγών, ὑμῖν δὲ πρὸς ἅπασαν τὴν πόλιν, ἣ

15 σκοπεῖ νυνὶ τίνα ὑμεῖς γνώμην περὶ αὐτῆς ἕξετε. καὶ μηδεὶς ὑμῶν ἡγείσθω με Λεωδάμαντι χαριζόμενον κατηγορεῖν Εὐάνδρου, ὅτι φίλος ὢν τυγχάνει, ἀλλ' ὑπὲρ ὑμῶν καὶ τῆς πόλεως προνοούμενον. ῥᾴδιον δ' ἐξ αὐτοῦ τοῦ πράγματος μαθεῖν. Λεωδάμαντι γὰρ συμφέρει τοῦτον δοκιμασθῆναι. οὕτω γὰρ ὑμεῖς μάλιστα διαβληθήσεσθε, καὶ δόξετε ἀντὶ δημοτικῶν ἀνθρώπων ὀλιγαρχικοὺς εἰς τὰς ἀρχὰς καθιστάναι· ὑμῖν δὲ τόνδε ἀποδοκιμάσαι δόξετε γὰρ κἀκεῖνον δικαίως {ἂν} ἀποδοκιμάσαι· ἐὰν δὲ μὴ τόνδε, οὐδ' ἐκεῖνον δικαίως.

16 καίτοιγε αὐτὸν ἀκούω λέξειν ὡς οὐ περὶ αὐτοῦ μόνον ἡ δοκιμασία ἐστίν, ἀλλὰ περὶ πάντων τῶν ἐν ἄστει μεινάντων, καὶ τοὺς ὅρκους καὶ τὰς συνθήκας ὑμᾶς ὑπομνήσειν, ὡς ἐκ τούτων προσληψόμενον αὐτὸν δοκιμαστὰς τοὺς ἐν ἄστει

1 κἀκεῖνο Af: κἀκεῖνοι X  πρὸς ἐνθυμηθῶσιν Cobet  2 Θρασύβουλος del. Kayser  λαοδάμαντά X, corr. Scheibe  τε aldina: γε X  5 παρεσκευασμένος Scaliger  εὖ εἰδὼς add. Thalheim, ὃν ἴστε πάντες Reiske, ὃς σιωπῶ Drysander: ὃς πῶς pro ὅπως Hude (ὃς ὅπως iam Af) διάκειται Scaliger: διακεῖσθαι X: διέκειτο Af  6 ἢ] ᾧ Schott πιθόμενοι Cobet  7 τότε Af: ὅτε X  8 λαοδάμαντα X, corr. Scheibe ἀποδοκιμάσαι Af: ἀποδοκιμάσητε X  τοῦτον Markland: αὐτὸν X: αὖ τοῦτον Reiske: Εὔανδρον Jacobs  10 ἀγών Baiter–Sauppe (ὁ ἀγών iam Franz): ἀγὼν X  11 ἣ σκοπεῖ ex ἣ σκοπεῖν corr. X[1]  13 ὅτι φίλος ὢν τυγχάνει vel ante κατηγορεῖν trs. vel del. Dobree  17 καθιστάναι Coraes (item Baiter–Sauppe): καθιστάνειν X  ἂν del. Dobree  μὴ τόνδε Af: μηδὲ τόνδε X  19 οὐδ' Af: οὐκ X  20 μόνου dubitanter Hude 23 αὐτὸν del. vel αὐτῷ coni. Halbertsma: ὑμῶν dubitanter Thalheim (μείναντας ⟨ὑμῶν⟩ iam Zakas)

μείναντας. ἐγὼ δ' ὑπὲρ τοῦ πλήθους βραχέα πρὸς αὐτὸν εἰπεῖν
βούλομαι, ὅτι ὁ δῆμος οὐ τὴν αὐτὴν γνώμην ἔχει περὶ πάντων
τῶν ἐν ἄστει μεινάντων, ἀλλὰ περὶ μὲν τῶν τοιαῦτα
ἐξαμαρτανόντων οἵαν ἐγώ φημι δεῖν, περὶ δὲ τῶν ἄλλων τὴν [177S]
ἐναντίαν. τεκμήριον δέ· οὐ γὰρ ἐλάττους τούτων ἡ πόλις 17
τετίμηκε τῶν ἐπὶ Φυλὴν ἐλθόντων καὶ τὸν Πειραιᾶ
καταλαβόντων. εἰκότως· τοὺς μὲν γὰρ ἴσασιν ὁποῖοί τινες ἐν
δημοκρατίᾳ μόνῃ γεγένηνται, ὁποῖοι δ' ἂν τινες ἐν ὀλιγαρχίᾳ
γένοιντο, οὔπω πεῖραν εἰλήφασι· παρὰ δὲ τούτων ἑκατέρας τῆς
πολιτείας ἱκανὴν βάσανον ἔχουσιν, ὥστ' εἰκότως πιστεύειν.
καὶ ἡγοῦνταί γε διὰ μὲν τοὺς τοιούτους συλληφθέντας τότε 18
ἀποθανεῖν, διὰ δὲ τοὺς ἄλλους {τοὺς συλληφθέντας} ἐκφυγεῖν,
ἐπεὶ εἴ γε τὴν αὐτὴν γνώμην ἅπαντες ἔσχον, οὔτ' ἂν φυγὴ οὔτ'
ἂν κάθοδος οὔτ' ἄλλο οὐδὲν ἂν τῶν γεγενημένων τῇ πόλει
συνέβη. ἀλλὰ καὶ ὃ ἄλογον δοκεῖ εἶναι παρά τισιν, ὅπως ποτὲ 19
πολλοὶ ὄντες ὑπ' ὀλίγων τῶν ἐν Πειραιεῖ ἡττήθησαν,
οὐδαμόθεν ἄλλοθεν ἢ ἐκ τῆς τούτων προνοίας γεγένηται·
οὗτοι γὰρ εἵλοντο μετὰ τῶν κατελθόντων πολιτεύεσθαι
μᾶλλον ἢ μετὰ τῶν τριάκοντα Λακεδαιμονίοις δουλεύειν.
τοιγάρτοι ἀντὶ τούτων αὐτοὺς ὁ δῆμος ταῖς μεγίσταις τιμαῖς 20
τετίμηκεν, ἱππαρχεῖν καὶ στρατηγεῖν καὶ πρεσβεύειν ὑπὲρ
αὑτῶν αἱρούμενοι· καὶ οὐδέποτε αὐτοῖς μετεμέλησεν. καὶ
διὰ μέν γε τοὺς πολλὰ ἐξαμαρτόντας τὰς δοκιμασίας εἶναι
ἐψηφίσαντο, διὰ δὲ τοὺς μηδὲν τοιοῦτον πράξαντας τὰς
συνθήκας ἐποιήσαντο. τοσαῦτά σοι ἐγὼ ὑπὲρ τοῦ δήμου
ἀποκρίνομαι.

4 *ἐξαμαρτόντων* Hirschig 5 *ἔλαττον τούτους* Lipsius, quod certe possis ⟨*ἢ*⟩ *τῶν ἐπὶ Φυλ.* Markland 9–10 *ἑκατέρας τὰς πολ.* Dobree 11 *διὰ μὲν τούτους* ⟨*τοὺς*⟩ *συλληφθ.* Markland 12 *διὰ δὲ* ⟨*τούτους*⟩ Reiske *τοὺς συλληφθέντας* del. Halbertsma: *τοὺς* ⟨*οὐ*⟩ *συλληφθ.* Reiske: *τοὺς* ⟨*μὴ*⟩ *συλληφθ.* Dobree *ἐκφυγεῖν* Markland: *ἐκφεύγειν* X 15 *ὃ ἄλογον δοκεῖ* Stephanus: *τὸ ἄλογον δοκεῖ* X: *τὸ ἄλογον δοκοῦν* Af *παρά* del. Francken 17 *γεγένηται* X, corr. aldina 22 *οὐδεπώποτε* Herwerden 23 *πολλὰ* Reiske: *πολλοὺς* X 25 *τοσαῦτά σοι* Lipsius: *τοιαύτας οἵας* X: *τοιαῦτά σοι* Baiter–Sauppe: *τοιαῦτα τούτοις* Reiske

21 ὑμέτερον δὴ ἔργον ἐστίν, ὦ ἄνδρες βουλευταί, σκέψασθαι
ποτέρῳ ἂν πειθόμενοι περὶ τῆς δοκιμασίας ταύτης ἄμεινον
βουλεύσαισθε, πότερον ἐμοὶ ἢ Θρασυβούλῳ, ὃς αὐτῷ
ἀπολογήσεται. περὶ μὲν οὖν ἐμοῦ ἢ τοῦ πατρὸς ἢ τῶν
προγόνων οὐδὲν οὗτος εἰπεῖν ἕξει εἰς μισοδημίαν. οὔτε γὰρ
ὡς ὀλιγαρχίας μετέσχον (ὕστερον γὰρ τῶν χρόνων τούτων
ἀνὴρ εἶναι ἐδοκιμάσθην), οὔθ' ὡς ὁ πατήρ (πρὸ γὰρ τῶν
22 στάσεων πολὺ ἐν Σικελίᾳ ἄρχων ἐτελεύτησεν)· οὐδ' ὡς οἱ
πρόγονοι ὑπὸ τοῖς τυράννοις ἐγένοντο· στασιάζοντες γὰρ πρὸς
αὐτοὺς τὸν ἅπαντα χρόνον διετέλεσαν. ἀλλὰ μὲν δὴ οὐδὲ τὴν
οὐσίαν ἡμᾶς ἐν τῷ πολέμῳ φήσει κτήσασθαι, εἰς δὲ τὴν πόλιν
οὐδὲν ἀνηλωκέναι· πᾶν γὰρ τοὐναντίον, ἐν εἰρήνῃ μὲν
ὀγδοηκοντατάλαντος ἡμῶν ὁ οἶκος ἐγένετο, εἰς δὲ τὴν τῆς
23 πόλεως σωτηρίαν ἐν τῷ πολέμῳ ἅπας ἀνηλώθη. ἐγὼ δὲ περὶ
τούτου τρία ἕξω εἰπεῖν τηλικαῦτα τὸ μέγεθος, ὥστ' ἄξιον εἶναι
ἕκαστον ἔργον θανάτου· πρῶτον μὲν ὅτι τὴν ἐν Βοιωτοῖς
πολιτείαν χρήματα λαβὼν μετέστησε καὶ τῆς συμμαχίας ἡμᾶς
ταύτης ἀπεστέρησεν, ἔπειτα ὅτι τὰς ναῦς προὔδωκε καὶ τὴν
24 πόλιν περὶ σωτηρίας βουλεύεσθαι πεποίηκεν, ἔπειτα ὅτι παρὰ
τῶν αἰχμαλώτων, οὓς αὐτὸς ἀπώλεσε, τριάκοντα μνᾶς
ἐσυκοφάντησεν, οὐ φάσκων αὐτοὺς λύσεσθαι, εἰ μὴ τοῦτο
αὐτῷ παρὰ σφῶν αὐτῶν παράσχοιεν. συνειδότες οὖν ἡμῶν
ἑκατέρῳ τὸν βίον, πρὸς ταῦτα βουλεύεσθε ὁποτέρῳ χρὴ
πιστεύειν περὶ τῆς Εὐάνδρου δοκιμασίας, καὶ οὕτως οὐκ
ἐξαμαρτήσεσθε.

2 πιθόμενοι Cobet 3 πότερον del. Pluygers 3–4 ὃς . . . ἀπολογήσεται del. Pluygers: ὃς αὐτοῦ ὑπεραπολογήσεται Reiske: ὃς . . . ⟨βοηθῶν⟩ ἀπολογήσεται Richards: ὃς . . . ἀναβήσεται Halbertsma 6 ⟨ἐγὼ⟩ μετέσχον Kayser 8 ἄρχων] τριηραρχῶν Cobet οὔθ' ὡς Reiske 12 πᾶν Af: πάντα X 15 ἔχω εἰπεῖν Contius 16 μὲν ⟨γὰρ⟩ ὅτι Af 19 ἐποίησεν Herwerden 21 τοῦτο] τοσοῦτο Scheibe 23 ἑκατέρῳ Reiske: ἑκατέρων X